τις ἀνδριάντας ἐργολαβοίη, μὴ μεμαθηκὼς ἀνδριαν-
τοποιεῖν. Ὅλης γὰρ τῆς πόλεως ἐν τοῖς πολεμι- 3
κοῖς κινδύνοις ἐπιτρεπομένης τῷ στρατηγῷ, μεγάλα
τά τε ἀγαθὰ, κατορθοῦντος αὐτοῦ, καὶ τὰ κακὰ, δια-
μαρτάνοντος, εἰκὸς γίγνεσθαι. πῶς οὖν οὐκ ἂν δικαίως
ὁ τοῦ μὲν μανθάνειν τοῦτο ἀμελῶν, τοῦ δὲ αἱρεθῆναι
ἐπιμελούμενος, ζημιοῖτο; Τοιαῦτα μὲν δὴ λέγων ἔπει-
σεν αὐτὸν ἐλθόντα μανθάνειν. Ἐπεὶ δὲ μεμαθη- 4
κὼς ἧκε, προσέπαιζεν αὐτῷ, λέγων· Οὐ δοκεῖ ὑμῖν,
ὦ ἄνδρες, ὥσπερ Ὅμηρος τὸν Ἀγαμέμνονα γεραρὸν
ἔφη εἶναι, καὶ οὕτω ὅδε στρατηγεῖν μαθὼν, γεραρώ-
τερος φαίνεσθαι; καὶ γὰρ ὥσπερ ὁ κιθαρίζειν μαθὼν,
κἂν μὴ κιθαρίζῃ, κιθαριστής ἐστι· καὶ ὁ μαθὼν ἰᾶ-
σθαι, κἂν μὴ ἰατρεύῃ, ὅμως ἰατρός ἐστιν· οὕτω καὶ
ὅδε ἀπὸ τοῦδε τοῦ χρόνου διατελεῖ στρατηγὸς ὢν, κἂν
μηδεὶς αὐτὸν ἕληται. ὁ δὲ μὴ ἐπιστάμενος, οὔτε στρα-
τηγὸς οὔτε ἰατρός ἐστιν, οὐδὲ ἐὰν ὑπὸ πάντων ἀνθρώ-
πων αἱρεθῇ. ¶ Ἀτὰρ, ἔφη, ἵνα καὶ, ἐὰν ἡμῶν 5
τις ταξιαρχῇ ἢ λοχαγῇ σοι, ἐπιστημονέστεροι τῶν
πολεμικῶν ὦμεν, λέξον ἡμῖν, πόθεν ἤρξατό σε διδά-



§. 3. μεγάλα τά τε] Deest τὰ in edd. vett.

μανθάνειν τοῦτο] Quod ex certa Stephani coniectura recepit Welsius et Ernestus, idem ego ex codd. Brodaei et tribus Vaticanis sumsi. Nam τούτου vulgatum alienum est; habent tamen omnes Codd. Florent.

§. 4. προσέπαιζεν] Stephanus habet προσέπαιξεν. Sane aoristus melior foret. Sed quia Attici hac forma non vtuntur, certe dubium est, an vsi sint (v. Hemsterhus. ad Arist. Plut. 1056, et not. ad Thom. Mag. in Παῖξαι) malim, si mutanda sit lectio vulgata, προσέπαισεν. Forte et aoristus hic in composito hoc inusitatus fuit. *Ern.*

Ομηρος] H. e. *Priamus apud Homerum*, Iliad. γ΄, 170.

Ἀγαμέμνονα] Edd. vett., excepta Castal., addunt γε.

κἂν μὴ κιθαρίζῃ] Sic Welsius ex Leonclauiana tertia. Vulgo est καὶ ἐὰν μὴ κιθ.

οὔτε στρατηγὸς] Stephanus existimabat post στρατηγὸς excidisse οὔτε κιθαριστὴς, quia in superioribus etiam exempli loco posuerat Socrates κιθαριστήν. Sed quid opus est, in sermonibus praesertim, haec tam accurate sibi respondere? *Hindeb.*

§. 5. λοχαγῇ σοι] Si quis nostrum sub tuo imperio legionem aut cohortem ducat. Stephanus edidit λοχαγήσῃ, quod habet MS. Vindob. 1 et Paris. 3, et in ed. Bas. aliquis vir doctus in margine scripsit: sed ita et ταξιαρχήσῃ esse deberet. *Ern.* In Castal. est λοχαγήσοι, vitiose.